GNT Gal 6:1 Ἀδελφοί, ἐὰν καὶ προλημφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραΰτητος, σκοπῶν σεαυτόν μὴ καὶ σὺ πειρασθῇς.

LUT Gal 6:1 Liebe Brüder, wenn ein Mensch etwa von einer Verfehlung ereilt wird, so helft ihm wieder zurecht mit sanftmütigem Geist, ihr, die ihr geistlich seid; und sieh auf dich selbst, daß du nicht auch versucht werdest.

GNM Gal 6:1 Ἀδελφοί, ἀδελφός n-vm-p ἐὰν ἐάν cs καὶ καί ab προλημφθῇ προλαμβάνω vsap--3s ἄνθρωπος ἄνθρωπος n-nm-s ἔν ἐν pd τινι τὶς a-idn-s παραπτώματι, παράπτωμα n-dn-s ὑμεῖς σύ npn-2p οἱ ὁ dnmp πνευματικοὶ πνευματικός a--nm-p καταρτίζετε καταρτίζω vmpa--2p τὸν ὁ dams τοιοῦτον τοιοῦτος apdam-s ἐν ἐν pd πνεύματι πνεῦμα n-dn-s πραΰτητος, πραΰτης n-gf-s σκοπῶν σκοπέω vrpanm2s σεαυτόν σεαυτοῦ npam2s μὴ μή cs καὶ καί ab σὺ σύ npn-2s πειρασθῇς. πειράζω vsap--2s

GNT Gal 6:2 Ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ.

LUT Gal 6:2 Einer trage des andern Last, so werdet ihr das Gesetz Christi erfüllen.

GNM Gal 6:2 Ἀλλήλων ἀλλήλων npgm2p τὰ ὁ danp βάρη βάρος n-an-p βαστάζετε βαστάζω vmpa--2p καὶ καί cs!cc οὕτως οὕτω ab ἀναπληρώσετε ἀναπληρόω vifa--2p τὸν ὁ dams νόμον νόμος n-am-s τοῦ ὁ dgms Χριστοῦ. Χριστός n-gm-s

GNT Gal 6:3 εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν,

LUT Gal 6:3 Denn wenn jemand meint, er sei etwas, obwohl er doch nichts ist, der betrügt sich selbst.

GNM Gal 6:3 εἰ εἰ cs γὰρ γάρ cs δοκεῖ δοκέω vipa--3s τις τὶς apinm-s εἶναί εἰμί vnpa τι τὶς apinn-s μηδὲν μηδείς apcnn-s ὤν, εἰμί vppanm-s φρεναπατᾷ φρεναπατάω vipa--3s ἑαυτόν, ἑαυτοῦ npam3s

GNT Gal 6:4 τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον·

LUT Gal 6:4 Ein jeder aber prüfe sein eigenes Werk; und dann wird er seinen Ruhm bei sich selbst haben und nicht gegenüber einem andern.

GNM Gal 6:4 τὸ ὁ dans δὲ δέ ch ἔργον ἔργον n-an-s ἑαυτοῦ ἑαυτοῦ npgm3s δοκιμαζέτω δοκιμάζω vmpa--3s ἕκαστος, ἕκαστος ap-nm-s καὶ καί cs τότε τότε ab εἰς εἰς pa ἑαυτὸν ἑαυτοῦ npam3s μόνον μόνος a--am-s τὸ ὁ dans καύχημα καύχημα n-an-s ἕξει ἔχω vifa--3s καὶ καί cc οὐκ οὐ qn εἰς εἰς pa τὸν ὁ dams ἕτερον· ἕτερος ap-am-s

GNT Gal 6:5 ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

LUT Gal 6:5 Denn ein jeder wird seine eigene Last tragen.

GNM Gal 6:5 ἕκαστος ἕκαστος ap-nm-s γὰρ γάρ cs τὸ ὁ dans ἴδιον ἴδιος a--an-s φορτίον φορτίον n-an-s βαστάσει. βαστάζω vifa--3s

GNT Gal 6:6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.

LUT Gal 6:6 Wer aber unterrichtet wird im Wort, der gebe dem, der ihn unterrichtet, Anteil an allem Guten.

GNM Gal 6:6 Κοινωνείτω κοινωνέω vmpa--3s δὲ δέ cc ὁ ὁ dnms+ κατηχούμενος κατηχέω vpppnm-s τὸν ὁ dams λόγον λόγος n-am-s τῷ ὁ ddms+ κατηχοῦντι κατηχέω vppadm-s ἐν ἐν pd πᾶσιν πᾶς a--dn-p ἀγαθοῖς. ἀγαθός ap-dn-p

GNT Gal 6:7 Μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει·

LUT Gal 6:7 Irret euch nicht! Gott läßt sich nicht spotten. Denn was der Mensch sät, das wird er ernten.

GNM Gal 6:7 Μὴ μή qn πλανᾶσθε, πλανάω vmpp--2p θεὸς θεός n-nm-s οὐ οὐ qn μυκτηρίζεται. μυκτηρίζω vipp--3s ὃ ὅς apran-s+ γὰρ γάρ cs ἐὰν ἐάν qv σπείρῃ σπείρω vsaa--3s/vspa--3s ἄνθρωπος, ἄνθρωπος n-nm-s τοῦτο οὗτος apdan-s καὶ καί ab θερίσει· θερίζω vifa--3s

GNT Gal 6:8 ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.

LUT Gal 6:8 Wer auf sein Fleisch sät, der wird von dem Fleisch das Verderben ernten; wer aber auf den Geist sät, der wird von dem Geist das ewige Leben ernten.

GNM Gal 6:8 ὅτι ὅτι cs ὁ ὁ dnms+ σπείρων σπείρω vppanm-s εἰς εἰς pa τὴν ὁ dafs σάρκα σάρξ n-af-s ἑαυτοῦ ἑαυτοῦ npgm3s ἐκ ἐκ pg τῆς ὁ dgfs σαρκὸς σάρξ n-gf-s θερίσει θερίζω vifa--3s φθοράν, φθορά n-af-s ὁ ὁ dnms+ δὲ δέ ch σπείρων σπείρω vppanm-s εἰς εἰς pa τὸ ὁ dans πνεῦμα πνεῦμα n-an-s ἐκ ἐκ pg τοῦ ὁ dgns πνεύματος πνεῦμα n-gn-s θερίσει θερίζω vifa--3s ζωὴν ζωή n-af-s αἰώνιον. αἰώνιος a--af-s

GNT Gal 6:9 τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐγκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι.

LUT Gal 6:9 Laßt uns aber Gutes tun und nicht müde werden; denn zu seiner Zeit werden wir auch ernten, wenn wir nicht nachlassen.

GNM Gal 6:9 τὸ ὁ dans δὲ δέ ch καλὸν καλός ap-an-s ποιοῦντες ποιέω vppanm1p μὴ μή qn ἐγκακῶμεν, ἐγκακέω vspa--1p καιρῷ καιρός n-dm-s γὰρ γάρ cs ἰδίῳ ἴδιος a--dm-s θερίσομεν θερίζω vifa--1p μὴ μή qn ἐκλυόμενοι. ἐκλύω vpppnm1p

GNT Gal 6:10 ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

LUT Gal 6:10 Darum, solange wir noch Zeit haben, laßt uns Gutes tun an jedermann, allermeist aber an des Glaubens Genossen.

GNM Gal 6:10 ἄρα ἄρα ch οὖν οὖν ch ὡς ὡς cs καιρὸν καιρός n-am-s ἔχομεν, ἔχω vipa--1p ἐργαζώμεθα ἐργάζομαι vspn--1p τὸ ὁ dans ἀγαθὸν ἀγαθός ap-an-s πρὸς πρός pa πάντας, πᾶς ap-am-p μάλιστα μάλιστα abs δὲ δέ ch πρὸς πρός pa τοὺς ὁ damp οἰκείους οἰκεῖος ap-am-p τῆς ὁ dgfs πίστεως. πίστις n-gf-s

GNT Gal 6:11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί.

LUT Gal 6:11 Seht, mit wie großen Buchstaben ich euch schreibe mit eigener Hand!

GNM Gal 6:11 Ἴδετε εἶδον vmaa--2p πηλίκοις πηλίκος a-tdn-p ὑμῖν σύ npd-2p γράμμασιν γράμμα n-dn-p ἔγραψα γράφω viaa--1s τῇ ὁ ddfs ἐμῇ ἐμός a--df1s χειρί. χείρ n-df-s

GNT Gal 6:12 ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα τῷ σταυρῷ τοῦ Χριστοῦ μὴ διώκωνται.

LUT Gal 6:12 Die Ansehen haben wollen nach dem Fleisch, die zwingen euch zur Beschneidung, nur damit sie nicht um des Kreuzes Christi willen verfolgt werden.

GNM Gal 6:12 ὅσοι ὅσος aprnm-p+ θέλουσιν θέλω vipa--3p εὐπροσωπῆσαι εὐπροσωπέω vnaa ἐν ἐν pd σαρκί, σάρξ n-df-s οὗτοι οὗτος apdnm-p ἀναγκάζουσιν ἀναγκάζω vipa--3p ὑμᾶς σύ npa-2p περιτέμνεσθαι, περιτέμνω vnpp μόνον μόνος ab ἵνα ἵνα cs τῷ ὁ ddms σταυρῷ σταυρός n-dm-s τοῦ ὁ dgms Χριστοῦ Χριστός n-gm-s μὴ μή qn διώκωνται. διώκω vspp--3p

GNT Gal 6:13 οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.

LUT Gal 6:13 Denn auch sie selbst, die sich beschneiden lassen, halten das Gesetz nicht, sondern sie wollen, daß ihr euch beschneiden laßt, damit sie sich dessen rühmen können.

GNM Gal 6:13 οὐδὲ οὐδέ ab γὰρ γάρ cs οἱ ὁ dnmp+ περιτεμνόμενοι περιτέμνω vpppnm-p αὐτοὶ αὐτός npnm3p νόμον νόμος n-am-s φυλάσσουσιν φυλάσσω vipa--3p ἀλλὰ ἀλλά ch θέλουσιν θέλω vipa--3p ὑμᾶς σύ npa-2p περιτέμνεσθαι, περιτέμνω vnpp ἵνα ἵνα cs ἐν ἐν pd τῇ ὁ ddfs ὑμετέρᾳ ὑμέτερος a--df2s σαρκὶ σάρξ n-df-s καυχήσωνται. καυχάομαι vsad--3p

GNT Gal 6:14 ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ.

LUT Gal 6:14 Es sei aber fern von mir, mich zu rühmen als allein des Kreuzes unseres Herrn Jesus Christus, durch den mir die Welt gekreuzigt ist und ich der Welt.

GNM Gal 6:14 ἐμοὶ ἐγώ npd-1s δὲ δέ ch μὴ μή qn γένοιτο γίνομαι voad--3s καυχᾶσθαι καυχάομαι vnpn εἰ εἰ cs μὴ μή qn ἐν ἐν pd τῷ ὁ ddms σταυρῷ σταυρός n-dm-s τοῦ ὁ dgms κυρίου κύριος n-gm-s ἡμῶν ἐγώ npg-1p Ἰησοῦ Ἰησοῦς n-gm-s Χριστοῦ, Χριστός n-gm-s δι᾽ διά pg οὗ ὅς aprgm-s ἐμοὶ ἐγώ npd-1s κόσμος κόσμος n-nm-s ἐσταύρωται σταυρόω virp--3s κἀγὼ κἀγώ cc&npn-1s κόσμῳ. κόσμος n-dm-s

GNT Gal 6:15 οὔτε γὰρ περιτομή τί ἐστιν οὔτε ἀκροβυστία ἀλλὰ καινὴ κτίσις.

LUT Gal 6:15 Denn in Christus Jesus gilt weder Beschneidung noch Unbeschnittensein etwas, sondern eine neue Kreatur.

GNM Gal 6:15 οὔτε οὔτε cc γὰρ γάρ cs περιτομή περιτομή n-nf-s τί τίς apinn-s ἐστιν εἰμί vipa--3s οὔτε οὔτε cc ἀκροβυστία ἀκροβυστία n-nf-s ἀλλὰ ἀλλά ch καινὴ καινός a--nf-s κτίσις. κτίσις n-nf-s

GNT Gal 6:16 καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ.

LUT Gal 6:16 Und alle, die sich nach diesem Maßstab richten - Friede und Barmherzigkeit über sie und über das Israel Gottes!

GNM Gal 6:16 καὶ καί cc ὅσοι ὅσος aprnm-p+ τῷ ὁ ddms κανόνι κανών n-dm-s τούτῳ οὗ τος a-ddm-s στοιχήσουσιν, στοιχέω vifa--3p εἰρήνη εἰρήνη n-nf-s ἐπ᾽ ἐπί pa αὐτοὺς αὐτός npam3p καὶ καί cc ἔλεος ἔλεος n-nn-s καὶ καί cc ἐπὶ ἐπί pa τὸν ὁ dams Ἰσραὴλ Ἰσραήλ n-am-s τοῦ ὁ dgms θεοῦ. θεός n-gm-s

GNT Gal 6:17 Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.

LUT Gal 6:17 Hinfort mache mir niemand weiter Mühe; denn ich trage die Malzeichen Jesu an meinem Leibe.

GNM Gal 6:17 Τοῦ ὁ dgns λοιποῦ λοιπός ap-gn-s κόπους κόπος n-am-p μοι ἐγώ npd-1s μηδεὶς μηδείς apcnm-s παρεχέτω· παρέχω vmpa--3s ἐγὼ ἐγώ npn-1s γὰρ γάρ cs τὰ ὁ danp στίγματα στίγμα n-an-p τοῦ ὁ dgms Ἰησοῦ Ἰησοῦς n-gm-s ἐν ἐν pd τῷ ὁ ddns σώματί σῶμα n-dn-s μου ἐγώ npg-1s βαστάζω. βαστάζω vipa--1s

GNT Gal 6:18 Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.
LUT Gal 6:18 Die Gnade unseres Herrn Jesus Christus sei mit eurem Geist, liebe Brüder! Amen.